τῶν ΑΔ, ΔΒ ἴσον τὸ ΕΛ· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ
λοιπῷ τῷ ΜΚ ἴσον ἐστί. καὶ ἐπεὶ μέσον ὑπόκειται τὸ
συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ. μέσον ἄρα ἐστὶ καὶ τὸ
κειτι ΕΗ καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται· ῥητὴ ἄρα ἐστὶν
ἡ ΘΕ καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει· διὰ τὰ αὐτὰ δὴ καὶ
ἡ ΘΝ ῥητή ἐστι καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. καὶ ἐπεὶ ἀ-
σύμμετρόν ἐστι τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ
τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. καὶ τὸ ΕΗ ἄρα τῷ ΘΚ ἀσύμμε-
τρόν ἐστιν· ὥστε καὶ ἡ ΕΘ τῇ ΘΝ ἀσύμμετρός ἐστιν καὶ εἰ-
σὶν ῥηταί· αἱ ΕΘ, ΘΝ ἄρα ῥηταί εἰσι δυνάμει μόνον
σύμμετροι· ἡ ΕΝ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ διῃρημέ-
νη κατὰ τὸ Θ· ὁμοίως δὴ δείξομεν ὅτι καὶ κατὰ τὸ Μ
διῄρηται· καὶ οὐκ ἔστιν ἡ ΕΘ τῇ ΜΝ ἡ αὐτή· ἡ ἄρα ἐκ
δύο ὀνομάτων κατ' ἄλλο καὶ ἄλλο σημεῖον διῄρηται· ὅ-
περ ἐστὶν ἄτοπον·

Α Δ Γ Β

οὐκ ἄρα ἡ δύο
μέσα δυναμένη
κατ' ἄλλο καὶ ἄλλο
σημεῖον διαιρεῖ-
ται· καθ' ἓν ἄρα
μόνον σημεῖον
διαιρεῖται :-

Ε Μ Θ Ν
Ζ Λ Η Κ

ὅροι δεύτεροι

ΜΗ Ὑποκειμένης ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων διῃρημέ-
νης εἰς τὰ ὀνόματα, ἧς τὸ μεῖζον ὄνομα τοῦ ἐλάσσονος
μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει· ἐ-
ὰν μὲν τὸ μεῖζον ὄνομα σύμμετρον ᾖ μήκει τῇ ἐκ-

κειμένῃ ῥητῇ. καλείσθω ὅλη ἐκ δύο ὀνομάτων πρώ-
τη. ἐὰν δὲ τὸ ἔλασσον ὄνομα σύμμετρον ᾖ μήκει τῇ
ἐκκειμένῃ ῥητῇ. καλείσθω ἐκ δύο ὀνομάτων δευτέ-
ρα. ἐὰν δὲ μηδέτερον τῶν ὀνομάτων σύμμετρον ᾖ
μήκει τῇ ἐκκειμένῃ ῥητῇ καλείσθω ἐκ δύο ὀνομά-
των τρίτη. πάλιν δὴ ἐὰν τὸ μεῖζον ὄνομα τοῦ ἐλάσ-
σονος μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ
μήκει. ἐὰν μὲν τὸ μεῖζον ὄνομα σύμμετρον ᾖ μήκει
τῇ ἐκκειμένῃ ῥητῇ, καλείσθω ἐκ δύο ὀνομάτων
τετάρτη. ἐὰν δὲ τὸ ἔλασσον. πέμπτη. ἐὰν δὲ μη-
δέτερον. ἕκτη. ἓξ οὖν οὐσῶν τῶν οὕτω καταλαμ-
βανομένων εὐθειῶν. τὰς μὲν πρώτας τῇ τάξει τρεῖς
ἐφ' ὧν ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δύναται τῷ
ἀπὸ συμμέτρου ἑαυτῇ. δευτέρας δὲ τῇ τάξει
τὰς λοιπὰς τρεῖς ἐφ' ὧν τῷ ἀπὸ ἀσυμμέτρου. διὰ
τὸ προτερεῖν τὸ σύμμετρον τοῦ ἀσυμμέτρου. καὶ ἔτι
πρώτην μέν. ἐφ' ἧς τὸ μεῖζον ὄνομα σύμμετρόν ἐστι
τῇ ἐκκειμένῃ ῥητῇ. δευτέραν δὲ ἐφ' ἧς τὸ ἔ-
λαττον. διὰ τὸ πάντως προτερεῖν τὸ μεῖζον τοῦ ἐλάτ-
[illegible]
φ' ὧν μηδέτερον τῶν ὀνομάτων ἐστὶ σύμμετρον τῇ
ἐκκειμένῃ ῥητῇ.
καὶ ἐπὶ τῶν ἑξῆς τρι-
ῶν ὁμοίως [illegible] πρώ-
την τὴν [illegible]μένην
δευτέραν τὴν ἑξῆς τό

Ε Ζ Η
Δ Θ
Α Γ Β





